# ΚΥΡΙΑΚΗ Δ′ ΝΗΣΤΕΙΩΝ

## Ἰωάννης, ὁ συγγραφεὺς τῆς Κλίμακος, ὅσιος




*Εἰκονογραφικὸν σχέδιον διὰ χειρὸς Φωτίου Κόντογλου († 1965).*

**Ἀπολυτίκιον.** Ἦχος πλ. δ′.

Ταῖς τῶν δακρύων Σου ῥοαῖς, τῆς ἐρήμου τὸ ἄγονον ἐγεώργησας· καὶ τοῖς ἐκ βάθους στεναγμοῖς, εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησας· καὶ γέγονας φωστήρ, τῇ οἰκουμένῃ λάμπων τοῖς θαύμασιν, Ἰωάννη πατὴρ ἡμῶν Ὅσιε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Ἕτερον.** Ἦχος γ′. Θείας πίστεως.

Θείαν κλίμακα, ὑποστηρίξας, τὴν τῶν λόγων Σου, μέθοδον πᾶσι, Μοναστῶν ὑφηγητὴς ἀναδέδειξαι, ἐκ πρακτικῆς Ἰωάννη καθάρσεως, πρὸς θεωρίας ἀνάγων τὴν ἔλλαμψιν. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Κοντάκιον.** Ἦχος δ′. Ἐπεφάνης σήμερον.

Ἐν τῷ ὕψει Κύριος, τῆς ἐγκρατείας, ἀληθῆ σε ἔθετο, ὥσπερ ἀστέρα ἀπλανῆ, φωταγωτοῦντα τὰ πέρατα, καθηγητὰ Ἰωάννη Πατὴρ ἡμῶν.

**Ἕτερον.** Ἦχος α′. Χορὸς ἀγγελικός.

Καρποὺς ἀειθαλεῖς, ἐκ τῆς βίβλου προσφέρων, διδάγματα σοφέ, καθηδύνεις καρδίας, τῶν τούτοις μετὰ νήψεως, προσεχόντων μακάριε. Κλῖμαξ γάρ ἐστι, ψυχὰς ἀνάγουσα γῆθεν, πρὸς οὐράνιον, καὶ διαμένουσαν δόξαν, τῶν πίστει τιμώντων Σε.

**Μεγαλυνάριον.**

Τὴν οὐρανοδρόμον ἣν Ἰακώβ, κλίμακα προεῖδεν, ἐτεχνήσω πνευματικῶς, Πάτερ Ἰωάννη, συνθήκῃ τῶν Σῶν λόγων, δι᾽ ἧς πρὸς ἀφθαρσίας, βαίνομεν μέθεξιν.

**Στίχοι.**

Ὁ σάρκα καὶ ζῶν νεκρὸς ὢν Ἰωάννης,
Αἰωνίως ζῇ, καὶ νεκρὸς φανεὶς ἄπνους.
Σύγγραμμα λιπών, Κλίμακα τῇ ἀνόδῳ,
Δείκνυσιν αὐτοῦ πορείαν τῆς ἀνόδου.

## Τῇ τετάρτῃ Κυριακῇ τῶν Νηστειῶν

*(Ἑβρ. ϛ´ 13-20· Μάρκ. θ´ 17-31)*



*Ἱερὰ Εἰκὼν (ΙϚ´ αἰ.) Ἱ. Μ. Παντοκράτορος Ἄθωνος.*

**Ψάλλομεν** τὴν Ἀκολουθίαν τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ συγγραφέως τῆς *«Κλίμακος».*

**Ἡ** τούτου Μνήμη τελεῖται καθ᾽ αὐτὸ τῇ τριακοστῇ Μαρτίου, ὅπου ἐτέθη καὶ ἡ βιογραφία αὐτοῦ· ἑορτάζεται δὲ καὶ σήμερον, ἴσως διότι ἀπ᾽ ἀρχῆς τῆς ἁγίας Τεσσαρακοστῆς ἄρχεται συνήθως ἀναγινώσκεσθαι ἐν τοῖς ἱεροῖς Μοναστηρίοις ἡ *«Κλῖμαξ»* τῶν Λόγων αὐτοῦ.

**Ο**ὗτος ἐγεννήθη ἐν Παλαιστίνῃ, περὶ τὰ 523· ἐδόθη εἰς τὴν ἄσκησιν ἐκ νεαρᾶς ἡλικίας· προεχειρίσθη Ἡγούμενος τῆς ἐν τῷ Σιναίῳ Ὄρει Μονῆς· συνέγραψε περὶ ἀρετῆς τριάκοντα Λόγους, ὧν ἕκαστος περιλαμβάνων μίαν ἀρετὴν καὶ ἀπὸ τῶν πρακτικῶν ἐπὶ τὰς θεωρητικὰς προχωροῦντες, ἀναβιβάζουσι τὸν ἄνθρωπον ὡς διὰ βαθμίδων τινῶν εἰς οὐράνιον ὕψος· δι᾽ ἣν αἰτίαν καὶ τὸ σύγγραμμα τοῦτο ὀνομάζεται *Κλῖμαξ* τῶν ἀρετῶν. Ἀπέθανε δὲ τῷ 603*, ἐτῶν ὀγδοήκοντα.

(*) Ἄλλοι θέτουν τὴν κοίμησιν τοῦ Ὁσίου τὸ 649.